Worksheet 14. *Isolate the paragraph relationships.*

1 ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς / οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ / καὶ οὐκ ἐγὼ
μόνος / ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν / 2 διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν / καὶ
μεθ᾽ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα / 3 ἔσται μεθ᾽ ἡμῶν χάρις ἔλεος εἰρήνη παρὰ θεοῦ πατρὸς καὶ παρὰ ἰησοῦ
χριστοῦ τοῦ υἱοῦ τοῦ πατρὸς ἐν ἀληθείᾳ καὶ ἀγάπῃ /

4 ἐχάρην λίαν / ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου / περιπατοῦντας ἐν ἀληθείᾳ / καθὼς ἐντολὴν ἐλάβομεν
παρὰ τοῦ πατρός / 5 καὶ νῦν ἐρωτῶ σε, κυρία / οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν / ἀλλ᾽ ἣν εἴχομεν ἀπ᾽
ἀρχῆς / ἵνα ἀγαπῶμεν ἀλλήλους / 6 καὶ αὕτη ἐστὶν ἡ ἀγάπη / ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ
/ αὕτη ἡ ἐντολή ἐστιν / καθὼς ἠκούσατε ἀπ᾽ ἀρχῆς / ἵνα ἐν αὐτῇ περιπατῆτε /

7 ὅτι πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον / οἱ μὴ ὁμολογοῦντες ἰησοῦν χριστὸν / ἐρχόμενον ἐν
σαρκί / οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος / 8 βλέπετε ἑαυτούς / ἵνα μὴ ἀπολέσητε / ἃ εἰργασάμεθα
/ ἀλλὰ μισθὸν πλήρη ἀπολάβητε / 9 πᾶς ὁ προάγων / καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ χριστοῦ / θεὸν οὐκ
ἔχει / ὁ μένων ἐν τῇ διδαχῇ / οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει / 10 εἴ τις ἔρχεται πρὸς ὑμᾶς / καὶ
ταύτην τὴν διδαχὴν οὐ φέρει / μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν / καὶ χαίρειν αὐτῷ μὴ λέγετε / 11 ὁ λέγων
γὰρ αὐτῷ χαίρειν / κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

12 πολλὰ ἔχων / ὑμῖν γράφειν / οὐκ ἐβουλήθην διὰ χάρτου καὶ μέλανος / ἀλλ᾽ ἐλπίζω / γενέσθαι
πρὸς ὑμᾶς / καὶ στόμα πρὸς στόμα λαλῆσαι / ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη / 13 ἀσπάζεταί σε τὰ
τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς /

Copyright © 2020. The Grey Burro, GreyBurro@ScriptureOnline.com. All rights reserved.